24 Κ̣[όριννα]α̣ Austin 2001a 25 εφ P

γρηῢϲ ἐγὼ χερνῆτιϲ ἐπ̣ὶ βρεφέεϲϲιν ἐγήρων, **46**
μιϲθία ⟨Φ⟩ωκαϊκῆϲ Βατὶϲ Ἀθηνοδίκηϲ,
εἴρια παιδεύουϲα κομεῖ̣ν καὶ νήματα μίτρα̣ι̣ϲ
ποι⟨κίλα κ⟩αὶ τρητῶν πλέγματα κεκρυφάλων·
α⟨ἰ⟩ δ’ ἤδη θαλάμων ἐπὶ νύμφιον οὐδὸν ἰοῦϲ̣α̣⟨ι⟩
τὴν ναρθηκοφόρον γρηῢν ἔθαπτον ἐμέ.

31 τωκαικηϲ P 33 ποιπαλεαι P : π⟨α⟩ιπαλέαι⟨ϲ⟩ Livrea 2002 34 αϲ et ιουϲ̣α̣ϲ̣ P

οὗτοϲ Ὀναϲ̣αγορᾶτι⟨ν⟩ ἔχει τάφοϲ, ἥτιϲ ἐπεῖδε̣ **47**
τέκνα τε καὶ τέκν̣[ω]ν̣ εἰρομέναϲ γενεάϲ,
τετράκ⟨ιϲ⟩ εἴκοϲι πλῆθοϲ· ἐν ὀγδώκοντ̣’ ἄ̣[ρα] παίδω[ν
χερϲὶ παλαίγηρωϲ ϲτήθεϲι τ’ ἐτρέ̣[φετ]ο.
ἣν ἑκατοντ̣α̣έ̣τιν Πάφιοι μακαριϲτὸν Ὀν[αϲᾶ
__ θρέμμα πυ[ριβρώτ]ωι τῆιδ’ ἐπέθ⟨ε⟩ντο κόνει.

36 οναϲ̣αγορατιϲ P 38 τετρακαι P 38-9 ἐν ὀγδώκοντ̣’ ἄ̣[ρα] … ϲτήθεϲι τ’ (Kassel ap.) Austin 2002, *ed. min.* : ενογδωκον̣..[..] … ϲτηθεϲιν P : ἐν ὀγδώκοντ̣α̣ [δὲ] … ϲτήθεϲι τ’ Lloyd-Jones 2002 : ἐν … ἤθεϲι τ’ ? Cuypers : ἔν’ ὀγδώκοντ̣’ ἀ̣[πὸ] … ϲτήθεϲιν *ed. pr.* 2 επεθοντο P

τοῦθ’ ἱκανὸ̣ν̣ ϲ̣υνετῆι Βιθ̣υνίδι το⟨ὐγ⟩γύθι κεῖϲ[θαι **48**
τῆι δούλη̣[ι χ]ρηϲτῶν, ὦ Θέμι, δεϲποτέων·
οὐ γὰρ] ἐ̣λευθ̣ερίηι προϲεμόχθεον, εὖ χαριτοῦμ[αι,
__ ἥτιϲ ἔ]χ̣ω̣ ϲ̣τήλην κρέϲϲον’ ἐλευθερίηϲ.

3 τοενγυθι P

…….]ύ̣ουϲ̣α Φιλαίνιον ὧδε ϲὺν αὐλῶι **49**
[…….. μ]ελέην Ἡγεδίκην ἐτίθει
ὀ̣κ[τωκαιδε]κέ̣τιν, μέγα δάκρυον· αἱ δὲ λίγ[ε]ι̣α̣ι̣
κεκ[…….].νω̣[ν] αἶψα καθ’ ἱϲτοπόδω̣ν̣
ε..[……].[…].κα· τὸ γὰρ χρύϲεο̣ν̣ ϲ̣τό̣μα κο̣ύ̣[ρ]η̣ϲ̣
__ ……] ζ̣οφερῶι τῶιδε μένει θαλάμωι.

7 ὀξέα κωκ]ύ̣ουϲ̣α Austin 2001a, *ed. min.* (Livrea 2002, Garulli 2004b) 8 [μήτηρ τὴν μ]ελέην Austin 2001a, *ed. min.* (Livrea 2002, Battezzato 2003, Garulli 2004b) 10 κεκ[ P : κε⟨ρ⟩κ[ίδεϲ *ed. pr., min.* αἰ]ηνῶ̣[ν] Austin 2001a, *ed. min.* : αἰπε]ι̣νῶ̣[ν] Livrea 2002 11 ἐρ̣ρ̣[ίπτοντο·] π̣[έφρ]ικα? Austin 2001b (ἐρρίπτοντο def. Battezzato 2003) : ἔρ̣ρ̣[ιπτον βόμβ]υ̣κα Livrea 2002 : ἔρ̣ρ̣[εον ε(ἰ)ϲ et acc. sg. ].κα Lapini 2003b 12 ϲιγηλὸν] Battezzato 2003 : ἄψυχον] Austin 2001a : ἔμψυχον] Livrea 2002 μενεῖ Lapini 2002

VIII 13 κ̣υάνεον νέφοϲ ἦλθε δι' ἄϲτεοϲ, ἡνίκα κούρην **50**
14 τοῦθ' ὑπὸ ϲῆμα τιθεὶϲ ἔϲτενεν Ἠετίων,
15 ἀγκαλέων Ἡδεῖαν ἑὸν τέκοϲ, ἧϲ Ὑμέναιοϲ
16 ἠρίον οὐ θαλάμου χερϲὶν ἔκοψε πύλην·
17 εὐπαθὲϲ ἄλγ̣[οϲ ......] πόλει, ἀλλὰ τὰ κεινῶν
18 __ ἀϲτῶν ἀ̣ρ̣κε̣[........]α καὶ ϲτοναχαί.

16 ἠρίου Lloyd-Jones 2002 17 ευπαθεϲ P, susp. (def. Gronewald 2003) : ϲυμπαθὲϲ *ed. pr., min.* : ἐμπαθὲϲ ? Lloyd-Jones 2002 ἕην πάϲηι] Austin 2001a, *ed. min.* : ἕοι πάϲηι] Gronewald 2003 κεινῶν *ed. pr., min.* (def. Austin 2002) : κείνων Lloyd-Jones 2002 : κειν⟨ὰ⟩ Gronewald 2001 ἀ̣ρ̣κε̣[ίτω δάκρυ]α *ed. pr., min.*

VIII 19 δακρυόεϲϲα[....... θε]οῖϲ ἀνατείνατε πήχειϲ, **51**
20 • τοῦτ' ἐπιπα[........ αὐ]τ̣ό̣μ̣αται, Καρύαι,
21 Τ⟨η⟩λε⟨φ⟩ίηϲ̣, ἧϲ̣ [.........]ϲ̣ ἠρίον· ἀλλὰ φέρουϲαι
22 εἴαρι πορ̣φυρέ̣[ου .... ἐϲ ἀ]γῶνα νέμουϲ
23 θῆλυ ποδήν[εμοι ἔρνοϲ] ἀ̣είδετε, δάκρυϲι δ' ὑμέων
24 __ κολλάϲθω Ϲα[πφῶι' ἄιϲμ]ατα, θεῖα μέλη.

19 δακρυόεϲϲα[ι ἕπεϲθε, θε]οῖϲ *ed. pr., min.* (def. Battezzato 2003) : δακρυόεϲϲα[ι ἅδην ἀνέμ]οιϲ Livrea 2002 20 ἐπὶ πα[ιδὸϲ ἐρεῖτ' *ed. pr., min.* : ἐπὶ πα[ιδὸϲ ἐμῆϲ Livrea 2002 : ἐπὶ πα[ιδὸϲ σῆμ' D'Alessio ap. Battezzato 2003 : ἐπιπά[ϲϲατε vel ἐπιπά[ϲϲετε ϲῆμ' Lapini 2003b 21 τειλε̣ϲ̣ι̣η̣ϲ̣ P, def. Livrea 2002, Battezzato 2003 [κεῖϲθε πρὸ]ϲ̣ *ed. pr., min.* : [νεῖϲθε πρὸ]ϲ̣ Gronewald 2001 (def. Livrea 2002, Battezzato 2003) 22 κλῶν' ἐϲ ἀ]γῶνα *ed. pr., min.* : φύλλ' ἐϲ ἀ]γῶνα Battezzato 2003 23 ποδήν[εμοι Battezzato 2003 : ποδήν[εμον *ed. pr., min.* 25 Ϲα[πφοῦϲ (ἄϲμ]ατα non ἄιϲμ]ατα) Lapini 2003b : ϲά[φ' ὑμῶν dub. Livrea 2002

VIII 25 Τίμ̣ω̣ν, ὃ⟨ϲ⟩ ϲκιό[θηρον ἐθή]κατο τοῦθ', ἵνα μετρῆι **52**
26 ὥραϲ, ν̣ῦ̣ν ιδεκ̣[ ±10 ]αι πεδίον
27 Ἄϲτη παῖϲ θ[εραπεύει, ὁ]δοιπόρε, τὴν ἔλιφ', ⟨εἴ⟩ωϲ
28 ἐνδέχετ' ἐλπ[ίδ' ἔχειν π]αρθένον ὡρολογε̣ῖν·
29 ἀλλὰ ϲὺ γῆραϲ ἱ̣κοῦ, κού̣ρη· παρὰ ϲήματι τούτω̣ι̣
30 • __ ϲωρὸν ἐτέων μέτρει τὸν καλὸν ἠέλιον.

25 οϲκιο[ P 25 ἴδ' ἐκ̣[εῖ κεῖται ὑπ]αὶ *ed. pr., min.* 27 ηωϲ P

VIII 31 Καλλιόπη, ϲὺ μὲν ὧδε· ϲὲ δὲ κλαίουϲιν ἑταῖραι, **53**
32 παρθένε, καὶ λυπρὴν τὴν τότε παννυχίδα,
33 ἧι ϲὺ καθ' ὑψηλοῦ τέγεο̣ϲ κάλλιϲτον ἄγαλμα
34 __ μητρὶ πα̣ρ' Οὐρανίηϲ Κύπριδοϲ ἐξέπεϲε̣ϲ.

VIII 35 δάκρυϲι, γαῖα, πέφυρϲαι· ἀδελφειοὶ γὰρ ἔθαψαν **54**
36 ϲὺ⟨ν⟩ πυρὶ τὴν δεκ̣έτιν Μυρτίδα καὶ μελέην,
37 αἷ̣μα τὸ Κυρηναῖον· ὁ δὲ ζώ⟨ω⟩ν τότ̣' ἀπευ̣θ̣ῆϲ
38 Νικάνωρ ἄλλουϲ γῆϲ ἐπέβα̣ι̣ν̣εν ὅρου̣ϲ

. . . . .

*desunt vv. 2*

36 ϲυμπυρι P μέλεϲιν Lapini 2003b, v. Angiò 2003d: 36 et Puelma ibid. 56
37 ζωοντ°α.απευ̣θ̣ηϲ P

IX 1 πάντα τὰ Νικομάχηϲ καὶ ἀθύρματα καὶ πρὸϲ ἑώιαν **55**
2 κερκίδα Ϲα⟨π⟩φώιουϲ ἐξ ὀά⟨ρ⟩ων ὀάρουϲ
3 ὤιχετο Μοῖρα φέρουϲα προ{ϲ}ώρια· τὴν δὲ τάλαιναν
4 παρθένον Ἀργείων ἀμφεβόηϲε πόλιϲ,
5 Ἥρηϲ τὸ τραφὲν ἔρνοϲ ὑπ' ὠλένο⟨ϲ⟩· ἃ τότε γαμβρῶν
6 __ τῶν μνηϲτευομένων ψύχρ'{α} ἔ⟨μ⟩ενον λ⟨έ⟩χεα.

1 κάλ' ἀθύρματα? Cuypers 2 ϲαμφωιουϲεξοανων P (ϲυμφώνουϲ? Cuypers) 5 υπωλενονατοτε P : ὑπωλένιον τά τε? Cuypers 6 ψυχραεγενονλοχεα P : ἐγένον⟨το⟩ λ⟨έ⟩χ⟨η⟩ Livrea 2002

IX 7 πέντε μὲν ὠδίνεϲϲιν ἐπήρατο τόξον Ἐλευθώ, **56**
8 δῖα γύναι, κ̣ατὰ ϲ̣ῶν ἱϲταμένη λ̣ε̣χέων·
9 ἕ]κτηϲ δ' ἐξ ὠδῖνοϲ ἀπώλεο, καὶ τὸ ϲὸν ἔϲβη
10 • τ̣έκνον ἐν ἑβδομάτωι νήπιον ἠελίωι
11 μ̣αϲτὸν ἔτι ϲπαργῶντα μετατρ̣έχον, ⟨ἡ⟩δὲ ϲυναπτὸν
12 δ̣ά̣κρυ κατ' ἀμφοτέρων ἤλυθε τυμβοχοῶν·
13 π̣έντε μὲν οὖν, Ἀϲιῆτι γύναι, μακάρεϲϲι μελήϲει
14 __ τέκνων, ἓν δ' ἐπὶ ϲοῖϲ γούναϲι κα̣ὶ̣ ϲ̣ὺ κομεῖϲ.

11 ειδε P 12 τυμβοχοῶν (-χόη) Lapini 2003b : τυμβοχόων (-χόοϲ) *ed. pr., min.*

IX τικτούϲηϲ ποτὲ παῖδα Φιλωνίδοϲ̣ ἄγ̣ρ̣ι̣ο̣[ϲ] ο̣ὗ̣τ̣ω **57**
ϲπ̣εῖραν ὑπὲρ κεφαλῆϲ ἐξεκύλιε[
κ]υ̣άνεον φολίδωμα· πυρὸϲ δ᾽ α̣ἴ̣θ̣ω[
αὐ]χενίουϲ ἤδη τείνετ᾽ ἐπὶ π̣λ̣[οκάμουϲ·
κα]ὶ̣ τὸν μὲν κόλποιϲ ὠρέξατο π̣α̣ιδ[
• ...].ον, τῆϲ δὲ φόβωι γυῖ᾽{α} ὑπέλυϲε̣[
ἔϲχα]τά γ᾽ ἐκ τεράων ἔπαθεϲ, γύναι, ἀλ̣[λ
__ ....] τότε καὶ πολιὴν ἔϲχε χρόνωι κε[φαλήν.

16 ἐξεκύλιε[ν ὄφιϲ *ed. pr., min.* (def. Livrea 2002) : -ιε [δράκων Austin 2001a (def. Livrea 2004) 17 α̣ἴ̣θ̣ω[ν ϲέλαϲ ὄϲϲοιϲ, *ed. pr., min.* (def. Livrea 2004) 19 π̣α̣ῖδ᾽ [ἐπιμάρψαι *ed. min.* : π̣α̣ῖδ[α λαβέϲθαι *ed. pr.* : π̣α̣ῖδ[α πάϲαϲθαι Livrea 2002 20 δει]ν̣όν *ed. pr., min.* : νήπ]ι̣ον vel τέκ]ν̣ον? Cuypers ὑπέλυϲε̣[ν ὄφιϲ dub. Livrea 2004 : ὑπέλυϲε̣ [λεχοῦϲ *ed. pr., min.* 21-2 ἀλ̣[λ᾽ ἐϲαώθη | παῖϲ] Ferrari 2004 : ἀλ̣[λὰ ϲὸϲ υἱὸϲ | ϲῶϲ] *ed. pr., min.* : ἀλ̣[λὰ τὸ θρέμμα | ϲῶν] Livrea 2002

IX ὡϲ ἐ]π̣ὶ̣ νύμφιον ἦλθε λέχοϲ Πρῶτιϲ̣ [ **58**
...].οθε παρθενίουϲ οὐ⟨κ⟩έτ᾽ ἔβη θα[
....]αϲα νόμον Β̣οιώτιον, ἀλλ᾽ ἐνιαυτ̣[ῶν
πέντ]ε φιληθείϲαϲ ἀνδρὶ ϲυνῆν δεκά̣[δαϲ
.....]ωϲ καὶ τέκνα μετ᾽ ἀνδράϲιν η̣[
__ ε]ὔ̣[πο]ρ̣᾽[{α}] ἰ̣δοῦϲ᾽ εὔπλουϲ ᾤιχετ᾽ ἐπ᾽ εὐϲ̣[εβέων.

23 [κιθαρωιδὸϲ *ed. pr., min.* 24 μητ]ρ̣όθε, *ed. pr., min.* ουμετεβη P, recte? θα[λίαϲ *ed. pr., min.* : θα[λάμουϲ? 25 ἡχήϲ]αϲα *ed. pr., min.* 27 ἡϲυχί]ωϲ, *ed. min.* ἠ̣[δὲ γυναιξὶν Gronewald 2004 : ἡ̣[λικιώταιϲ *ed. pr., min.* (Garulli 2004b) 28 .].[..].[.].δουϲ P

IX ὄλ̣βια γηράϲκουϲα Μενεϲτράτη [ **59**
• ὀγδοάτην ἐτέων εἶδεϲ ὅλην̣ [δεκάδα,
καὶ δύο ϲοὶ γενεαὶ παίδων ἐπιτή̣[δεον ὤρθουν
ϲηκόν· ἔχειϲ ὁϲίαϲ ἐ⟨κ⟩ μακάρων χάρι[ταϲ·
γρηῢ φίλη, μετάδοϲ λιπαροῦ μεγα[
__ γήρωϲ τοῖϲ ἱερὸν ϲῆμα παρ̣ε̣ρ̣[χομένοιϲ.

29 e.g. [ἐν ϲυνερίθοιϲ vel [Ἀδραμυτηνέ Austin 2001a/b 32 εγμακαρων P
33 μεγα[λοφρονέουϲα Austin 2001a, *ed. min.*

IX τοῦτ᾽ ἐπαρασάμενος Μνηςί̣ς̣τ̣ρ̣α̣τ̣[ος **60**
    τὴν ἀπὸ πυρκαϊῆς εἰς Ἀΐδεω κατέβη·
ʽμὴ κλαύς̣ητέ με, τέκνα, φίλην δ᾽ ἐπὶ πατρὶ κονίην
    ψ̣[υχρ]ῶ̣ι παππ⟨ώ⟩ιως χώςατ᾽ ἐπ᾽ ἐςχατιῆς·
ἐξηκον]τ̣αέτης γὰρ ἀπ᾽ ἠέρος οὐ βαρύγηρως
[• __ ἔρχομ᾽ ἐπ᾽ ε]ὐ̣ςεβέων ἀλλ᾽ ἔτι κοῦφος ἀνήρ᾽.

35 Μνηςί̣ς̣τ̣ρ̣α̣τ̣[ος ἄρτι κέλευθον *ed. pr., min.* 38 παπποιως P : παππ⟨ώ⟩ιω⟨ν⟩ Lapini 2002 ἐπ ἐςχατιῆι? Austin 2001a

X ἴςχε π̣όδας παρὰ cῆμα, τὸν εὔγηρώ τε προςεῖπον **61**
    πρέςβυν Ἀρίςτιππον – τῆιδε γάρ ἐ̣ς̣τ̣ι θ̣α̣ν̣ώ̣ν̣ –
καὶ τὸν ἀδάκρυτον βλέψον λί̣θον· οὗτος ἐ̣κείνωι
    τ̣ῶ̣ι κ̣α̣τὰ γῆς ὁ λίθ̣ο̣ς κοῦφ̣ο̣ν ἔπεστι βάρος·
τέκ̣να γὰρ αὐτὸν ἔθαπτε φιλαίτ̣α̣τον ἀ̣ν̣δ̣ρ̣ὶ γέροντι
ρις• __ κτῆμ᾽{α̣}, ὁ δὲ θυγατ̣έ̣ρ̣ω̣ν εἶδε καὶ ἄλλ̣ο γένος.

X ἀνδριαν̣τ̣ο̣π̣οι̣κά

X μιμ̣[ή]cαcθε τάδ᾽ ἔρ̣γα, πολυχρονίους δὲ κολοςςῶν, **62**
    ὦ ζ[ωι]ο̣πλάςται, ν̣[..] π̣αραθεῖτε νόμους·
εἴ̣ γε μὲν ἀρχαῖαι̣ .[..].πα χέρες, ἢ ʽΑγελάιδης
    ὁ πρὸ Πολυκ⟨λ⟩είτο[υ πά]γχυ παλαιοτέχ̣νης,
ἢ οἱ †διδυμιδου† cκληρ̣[οὶ τύ]ποι εἰς πέδ̣ο̣ν ἐλθεῖν,
    Λυςίππου νεαρὴν οὐδ[ε]μ̣ία πρόφαςις
δεῦρο παρεκτεῖναι βας̣ά̣ν̣ω̣ι̣ χάριν· εἶ̣[τα] δ̣᾽ ἐα̣⟨ν⟩ χ̣ρ̣ῆ̣ι̣
__ καὶ πίπτηι ⟨ὦ⟩θλο⟨ς⟩ κ̣α̣ι̣ν̣οτεχνέω̣ν .ε.εςηι

9 ν̣[ῦν] Lapini 2003b (def. Battezzato 2003) : ν̣[αί,] *ed. pr., min.* (Esposito 2004) : μ̣[ή] Luppe 2001b 10 δ[ vel ζ[ vel ξ[ : Δ̣[ρυ]όπα Livrea 2002 : Κανάχου Austin 2001a : Κριτία Lapini 2003b 11 πολυκτειτο[ P 12 διδυμιδου P : Δ⟨εινομέν⟩ου⟨ς⟩? *ed. min.* 12 : Δ⟨αι⟩δ⟨αλ⟩ιδ⟨ῶν⟩ Livrea 2002 : Δ⟨αι⟩δ⟨αλ⟩ίδου dub. Gutzwiller 2002 πεδ̣ο̣ν P (def. Lapini 2003b, Angiò 2004b) : an μέςον? *ed. min.* ελθειν P (def. Lapini 2003b) : ἦλθον Austin 2001a, *ed. min.* (def. Angiò 2004b) 13 νεαρὴν Lapini 2003b : νεάρ᾽ ἦν *ed. pr., min.* 14 βας̣ά̣ν̣ω̣ι̣ Lapini 2003b : βας̣ά̣ν̣ο̣υ̣ *ed. pr., min.* 14 ε̣α̣γ̣χ̣..ι̣ P 15 κἀκπίπτηι⟨ς⟩ Lapini 2002 πίπτηι ⟨γ᾽⟩? *ed. min.* οαθ̣λου, θ corr. ex λ̣ : ἄθλου Lapini 2002 κ̣α̣ι̣ν̣οτεχνέω̣ν ptc. praes. Lapini 2002 "π̣ε̣τ̣εςηι P, ut vid." *ed. min.* : πέρας ἦν Austin 2001a, *ed. min.* : περέςηι Livrea 2002 : γε πεςῆι Lapini 2002 : γε π̣έ̣ς⟨ο⟩ι Angiò 2004b : μ̣ε̣τ̣έςηι Ferrari 2004

X 16 τ̣όνδε Φιλίται χ̣[αλ]κ̣ὸν̣ [ἴ]ϲ̣ο̣ν̣ κατὰ πάν⟨θ⟩᾿{α} Ἑκ̣[α]τ̣αῖοϲ **63**
17 • ἀ]κ̣[ρ]ι̣β̣ὴϲ ἄκρουϲ̣ [ἔπλ]α̣ϲ̣ε̣ν εἰϲ ὄνυχας,
18 καὶ με]γ̣έθει κα̣[ὶ ϲα]ρ̣κ̣ὶ τὸν ἀνθρωπιϲτὶ διώξαϲ
19 .....]ν᾿, ἀφ᾿ ἡρώων δ᾿ οὐδ̣ὲν ἔμ̣ειξ᾿{ε} ἰδέηϲ,
20 ἀ̣λλὰ τὸν ἀκρομέριμν̣ον ὅλ̣[.. κ]α̣τεμάξατο τέχ̣νη̣ι̣
21 πρ]έ̣ϲβυν, ἀληθείηϲ ὀ̣ρθὸν̣ [....] κ̣ανόνα·
22 αὐδῆϲ]οντι δ᾿ ἔοικε̣ν̣, ὅϲωι π̣ο̣ι̣κ̣ίλλεται ἤθει,
23 ἔμψυχ]ο̣ϲ, καίπερ χάλκεοϲ ἐὼν ὁ γέρων·
24 .. Πτολε]μ̣αίου δ᾿ ὧδε θ̣εοῦ θ᾿ ἅμα καὶ βαϲιλ⟨ῆ⟩οϲ
25 — ......]α̣ι Μουϲέ{ι}ων εἵνεκα Κῷιοϲ ἀνήρ.

16 πανταε.[.]ταιοϲ P 19 γνώμο]ν᾿ *ed. pr., min.* 20 ὅλ̣[ωϲ vel ὅλ̣[ον Lapini 2003b : ὅλ̣[ηι *ed. pr., min.* 21 [ἔχων] *ed. pr., min.* 24 ἐκ Πτολε]μ̣αίου (Gascou in) *ed. pr., min.* : ἐν Πτολε]μ̣αίου? Bernardini-Bravi 2002 βαϲιλειοϲ P 25 ἄγκειτ]αι *ed. pr., min.* (Sens 2005, Esposito 2004, Meliado 2005, Angiò 2003d:43) : ἄγκειμ]αι Scodel 2003

X 26 ..]ν̣...ειδομενειαθελων χάλκειον ε.ε̣ι̣.[ **64**
27 •] .ρηϲιλεωϲ ἄκρωϲ ἠργάϲατ᾿ ειδομενευ
28 .]..υ̣[..] Ἰδομενεύϲ αλ̣[.].γα̣..μ̣ηριοναθε̣ι
29 — .......]πλαϲται δ..[...]ν̣η̣τοϲεων.

26-27 αἴ]ν̣ε̣έ̣ γ᾿{ε} Ἰδομεν⟨ῆ⟩α θέλων χάλκειον ἐκ̣ε̣ῖ̣ν̣[ον | Κ̣ρηϲίλ⟨α⟩· ὡϲ ἄκρωϲ ἠργάϲατ᾿ εἴδομεν εὖ *ed. pr.* : Κ̣ρηϲίλεω· ϲ᾿ ἄκρωϲ εἰργάϲατ᾿, Ἰδομενεῦ Luppe 2003c : Κ̣ρηϲίλε⟨ω⟩ ὡϲ ἄκρωϲ ⟨ϲ᾿⟩ ἠργάϲατ᾿, Ἰδομενεῦ Lapini 2002 (-λε⟨ω⟩ ὡϲ), 2003b (cett.) 28 γ]α̣ρ̣ύ̣[ει] Ἰδομενεύϲ· ᾿ἀλ̣[λ᾿] ὦ̣ ᾿γα̣θ̣ὲ̣ Μ̣ηριόνα, θ̣εῖ, *ed. pr., min.* : αὐ]δ̣ᾶ̣ι̣ [δ᾿ Ε]ἰδομενεύϲ Luppe 2003c 29 ἀλγέω δὲ] πλάϲται? *ed. min.* : νωθείαι] πλαϲτᾶι Austin 2001a : καίπερ ὑπὸ] πλάϲται Angiò 2002a : πέ]πλαϲται δ᾿ ἀν[τ- vel δ᾿ ἀν[κ(γ, χ)- Lapini 2003b : [κνήμαιϲι] πλαϲταῖ⟨ϲ⟩ μή [πω ἄκαμ]πτοϲ ἐών" Luppe 2003c δ̣ὰ̣ν̣ [ἀδό]ν̣η̣τοϲ ἐών᾿ *ed. pr., min.* : [ἀνό]ν̣η̣τοϲ Lapini 2002, Luppe 2003c : [ἀπό]ν̣η̣τοϲ Angiò 2002a

X 30 Λύϲιππε⸥ πλάϲτα Σικυῴ⸤νιε, θαρϲ⸥α̣λέα χείρ̣, **65**
31 δάϊε τεχνί̣⸤τα, πῦρ τοι ὁ χα⸤λκὸϲ ὁρ⸥ῆι,
32 ὃν κατ᾿ Ἀλεξά⸥νδρου μορφᾶϲ ἔθε̣υ̣· οὔ τί γε με̣μ̣πτοὶ
33 — Πέρϲαι· ϲυγγνώ⸥μ̣α βουϲὶ λέοντα φυγεῖν.

Test. *APlan.* 119, *P.Freib.* 4 [*SH* 973] (init. vers. 26-29), Himer. *Or.* 48.14 p. 203 Colonna (Λύϲιππε ... χείρ solum) 30 θαρϲαλέη *APlan.* (-λέα iam Page) : δαιδαλέη Himer. 32 ἔθε̣υ̣ οὔ τί γε *ed. pr., min.*, Obbink 2005 : εθ..ουτιγε P : χέεϲ· οὐκέτι *APlan.* ϲυγγνώμη *APlan.* (-μα iam Page)

X 34 ±13 ].ηcε τὸ βοίδιον ἄξιον ὁλκῆc **66**
35 ±14 ] κ̣αὶ τριcεπαργύριον
36 ±13 ] χ̣εῖρα cοφὸν χρέοc ειδ' ἐπ' ἀδό̣ξου
37 • ±11 ἀλ]λὰ Μύρων ἐπόει.

34 e.g. βουκόλωι, ἣν ἐδό]κηcε Austin 2001a : ἀρχὴν τοῦτ' ἐδό]κηcε Luppe 2003b : τοῦτ' ἐcορῶν ἐδό]κ̣ηcε De Stefani 2005   35 ἔμμεναι ἀγροίκωι] Luppe 2003b : βουκόλοc, Ἡράκλεεc] De Stefani 2005   vel καὶ τρὶc ἐπ' ἀργύριον *ed. min.*   36 e.g. εὖτε δ' ἐτείνατο] *ed. min.* : ὡc δ' ἐπετείνατο] Luppe 2003b : ὡc δ' ἐτανύccατο] De Stefani 2005   εἶδ' *ed. pr., min.* : εἰ δ' Gronewald 2001 (def. Angiò 2003a) : post ἀδό̣ξου dist. Luppe 2003b   37 e.g. ὡc οὐ βοῦc μήτηρ, ἀλ]λὰ Austin 2001a : οὐ βοῦc ἦν μήτηρ, ἀλ]λὰ Luppe 2003b : ζῶιον χάλκεον ἦν, ἀλ]λὰ Angiò 2003a : πόρτιοc οὐ τόκοc ἦν ἀλ]λὰ De Stefani 2005

X 38 ±14 ]..[..]. ἄντυγοc ἐ⟨γ⟩γύθεν ἄθρει **67**

καὶ κέντ̣ρα̣ (XI 30?)

XI 1 τῆc Θεοδωρεί̣η̣c̣ χ̣ειρὸc ὅcοc κάματο̣c̣·
2 ὄψει γὰρ ζυ̣γ̣ό̣δεcμα καὶ ἡνία καὶ τροχὸν ἵππων
3 ἄξονά ⟨θ⟩'[{ε} ἡνιό]χου τ̣' ὄμ̣μ̣α καὶ ἄκρα χερῶ̣ν̣·
4 ὄψει δ' ευ[ ±12 ]...εοc, ἀ̣λ̣λ̣' ἐ̣π̣ὶ τ̣ῶ̣ιδε
5 __ ἐ̣ζομέν[ην ±15 ] μ̣υ̣ῖ̣αν ἴδοιc.

38 fort. ]cτ[ ]π vel ]c   ενγυθεν P   3 .[.....]χου, i.e. τ[ηνιο]χου P, ut vid.   4 e.g. εὖ [ῥυμόν, τρίχα] μῆκεοc *ed. min.*   5 ἐ̣ζομέν[ην ἂν ἴcην ἅρματι] *ed.min.* : ἐ̣ζομέν[ην μόγιc ἂν τηλόθε] Angiò 2001b

XI 6 ἤθελον Ἠ̣έ̣λ̣ι̣ο̣ν̣ Ῥ̣όδι̣ο̣ι̣ π[.......]α θ̣ε̣ῖ̣ν̣αι **68**
7 δὶc τόc̣ον, ἀ̣λ̣λ̣ὰ Χάρηc Λί̣ν̣διο[c] ὡ̣ρίc̣ατο
8 μ̣ηθέν̣α̣ τεχνίταν ἔ⟨τ⟩ι μ̣εί̣ζονα̣ [τ]ο̣ῦ̣δ̣ε̣ κ̣[ο]λ̣οccὸ̣ν
9 • θήcειν̣· εἰ δὲ Μύ̣ρων εἰc τετρ̣ά̣π̣[ηχ]υ̣ν̣ ὅ̣[ρον
10 cεμ̣νὸc ἐ̣κεῖνοc̣ ἀ̣ν̣ῆ̣κ̣ε̣, Χάρηc π̣ρ̣ῶ̣[τοc μ]ε̣τὰ τέχνα[c
11 __ ζ̣ῶ̣⟨ι⟩ο̣ν ἐ̣χαλ̣κούργ̣ε̣ι γ̣ᾶ̣c μεγ[......].[..]ν̣.

6 π[εριμάκε]α *ed. pr., min.*   8 επι P   10 π̣ρ̣ῶ̣[τον Angiò 2003c   11 μεγ[έθει παρ]ι̣c̣[ῶ]ν̣ Austin 2001b, *ed. min.* : μέγ[α θαῦμα κι]χ̣[ώ]ν̣ vel πο]ρ̣[ῶ]ν̣ Casanova 2002 : μέγ[α θαῦμ' ἐ]π̣[εό]ν̣ Angiò 2003c : v. etiam Schröder 2004

XI 12 εἶμαι χ̣ά̣λκει̣α̣ προτ...[ ±10 ].του μο̣υ̣ **69**
13 το[ῦ(το)] Τ̣υδεὺc μηπ[ ±20 ]ν̣ο̣c̣
14 εἰ̣ δ' ἐπιθιξει[ ±20 ]. Μ̣ύρων εὖ
15 __ θῆκ' ἐπ' ἔμ' ἱμ̣[ ±20 ]c̣

12 ]α̣ pot. quam ]ε   14 fort. ἐπιθίξει[c *ed. min.*   [ι pot. quam [υ̣   15 ἱ̣μ̣[άτιον *ed. pr.* : e.g. ἱ̣μ̣[ερόεν φᾶροc ἀνὴρ χαρίει]c̣ Austin 2001a

XI 16 τ̣οῦ(το) καὶ τὰ Πολυκ̣[λείτου ±12 ] π̣ά̣ν̣τ̣ω̣ν̣ **70**
17 ϲάρκ̣ινα̣ καὶ θ̣.[ ±18 ]α̣ι̣
18 πάντ' ἐπ' Ἀλεξά̣[νδρου ±14 χ]ε̣ιρῶν
19 ν• __ τῶν Λυϲιππε̣[ίων ±19 ]ϲ̣

17 η̣[, ν̣[, ρ̣[ *ed. min.*

XI 20 ἱππ̣ι̣κ̣ά

XI 21 οὗτοϲ ὁ μουνοκέληϲ Αἴθω̣ν ἐμὸϲ .[ **71**
22 κἀγὼ τὴν αὐτὴν Πυθιάδα ϲτ̣[
23 δὶϲ δ' ἀνεκηρύχθην Ἱππόϲτρ[ατοϲ] ἀ̣θλοφ[όροϲ τ'] ἦ̣ν
24 __ ἵπποϲ ὁμοῦ κἀγώ, πότνια Θεϲϲα̣λ̣ία.

21 ἵ̣[πποϲ ἐνίκα Austin 2001a, *ed. min.* : ἤ̣[ρατο νίκην *ed. pr.* 22 ϲτ̣[άδιον] Austin 2001a, *ed. min.* : ϲτ̣[εφόμην *ed. pr.* : v. et Bernardini-Bravi 2002

XI 25 τοῦ πώλου θηεῖϲθε τὸ λιπαρέϲ, ὡϲ πνόον ἕλκει **72**
26 τ̣οῦ(το) παντὶ τύπωι καὶ πᾶϲ ἐ⟨κ⟩ λαγόνων τέταται
27 ὡϲ νεμεοδρομέων· Μολύκωι δ' ἤνεγκε ϲέλινα
28 __ νικήϲαϲ ἄκρωι νεύματι καὶ κεφαλῆι.

26 εγλαγονων P

XI 29 εὐθὺϲ ἀπὸ γραμμῆϲ ἐν Ὀλυμπίαι̣ ἔ̣τρεχον οὕτω **73**
30 τοῦ(το) • κέντρα καὶ ἐξώ̣[ϲειϲ ±11 ]μενοϲ,
31 ἁδὺ βάροϲ ταχυ[ ±12 ϲτ]εφάνωϲαν
32 __ θαλλῶι τρυγα.[.........]..[.].[ο]υ

30 cf. litteras καικεντ̣ρ̣α̣ a $m^2$ in columnae margine superiore scriptas ("de varia lectione ἐξώϲειϲ καὶ κέντρ' cogitare potes" *ed. min.*) οὐδ' ἐπιδεξά]μενοϲ *ed. pr., min.* : οὐχ ὑποδεξά]μενοϲ Ferrari 2004 : οὐ καταπαιό]μενοϲ Di Benedetto 2003a 31 ταχυ[τᾶτι et ἐϲτ]εφάνωϲαν *ed. pr., min.* : ταχυ[τᾶτι φέρων, οἱ δ' ἐϲτ]εφάνωϲαν Austin 2001a 32 Τρυγαῖ̣[ον *ed. pr., min.* fin. e.g. παῖδα τὸν –⏑⏑ -[ο]υ Austin 2001a

XI ἐν Δελφοῖϲ ἡ πῶλο̣ϲ ὅτ᾽ ἀντιθέουϲα τεθρίπποιϲ **74**
ἄξον⟨ι⟩ Θεϲϲαλικῶι κοῦφα ϲυνεξέπεϲε
νεύματι νικήϲαϲα, πολὺϲ τότε θροῦϲ ἐλατήρω̣ν̣
ἦν ἀμφικτύοϲιν, Φοῖβ᾽{ε}, ἐν ἀγωνοθέταιϲ·
ῥάβδουϲ δὲ βραχέεϲ χαμάδιϲ βάλον, ὡϲ διὰ κλή̣ρου
νίκηϲ ἡνιόχων οἰϲομένων ϲτ̣έ̣φ̣ανον·
ἥδε δὲ δεξιόϲειρα χαμαὶ ν̣εύ̣ϲα[ϲ᾽ ἀ]κ̣εραί̣ων
XII • ἐ̣[κ ϲ]τ̣η̣θ̣έ̣ω̣ν α̣ὐ̣τ̣ῆ̣ ῥ̣ά̣β̣δ̣ο̣ν ἐφειλκύϲα[το,
ἡ̣ δ̣ε̣ι̣ν̣ὴ̣ θ̣ή̣λεια μετ᾽ ἄρϲεϲιν· αἱ δ᾽ ἐβόηϲ[αν
φ̣θ̣έ̣γ̣μ̣α̣τ̣[ι] π̣α̣ν̣δή̣μ̣ωι ϲ̣ύμμιγα μυριάδ[εϲ
κ̣ε̣[ίν]η̣ι̣ κ̣η̣ρ̣ῦ̣ξαι ϲ̣τ̣έ̣φανον μ̣έγαν· ἐ̣ν̣ θ̣ο̣ρ̣[ύβωι δὲ
Κα̣λ̣[λικ]ρ̣ά̣τ̣ηϲ δάφνη⟨ν⟩ ἧρα̣τ̣᾽ ἀνὴρ Ϲά̣μ̣ι̣ο̣[ϲ,
Θ̣ε̣ο̣ῖ̣ϲ̣ι̣ δ̣᾽ Ἀ̣δ̣[ε]λ̣φε{ι}οῖϲ εἰκὼ ἐναργέα τ̣ῶ̣ν τότ᾽ [ἀγώνω]ν̣
__ ἅ̣ρ[μα καὶ ἡνί]ο̣χ̣ον χάλκεον ὧδ᾽ ἔθετο.

34 αξονα P 36 φοιβεεν P 37 βραχέωϲ? Austin 2001a 2 ἡ̣ δεινὴ Austin 2001a 5 δαφνηϲ P

XII ἅ̣ρ̣[ματι ±12 ] τ̣έϲϲαρεϲ εἵλομε⟨ϲ⟩ ἁ[μέ]ϲ̣ **75**
ἵ̣ππο̣ι̣ θ̣ή̣[λειαι] π̣ὰρ Διὸϲ ἀνιόχου,
Πιϲ̣α.[.. ϲτέφα]ν̣[ο]ν τὸν Ὀλ̣υ⟨μ⟩πικὸν ἄλλον ἐπ᾽ ἄλλωι
• __ [.]..ι̣...[..].[...] τ̣ο̣ῦ̣ Λ̣α̣κεδαιμονίου.

8 ἅ̣ρ̣[ματι νικῶϲαι ταὶ] *ed. pr., min.* ειλομεν P 10 Πιϲ̣ᾶ̣τ̣[αι, *ed. pr., min.* : Πίϲα⟨ι⟩ τ̣[ὸν? Cuypers ολ̣υπ̣πικον P 11 fort. [Δ]ί̣ω̣ι̣ Λ̣υ̣ϲ̣ι̣[μ]ά̣[χου] *ed. min.*

XII ἐ̣κ̣τ̣έ̣τα[τ]α̣ι̣ π̣[ρ]ο̣τ̣[ρ]έ̣χ̣ω̣ν̣ ἀ̣κρώνυχοϲ, ὡϲ Ἐτεάρχωι **76**
..]τ̣ο̣..[...... Ἄ]ρ̣α̣ψ ἵππoϲ ἀεθλοφορεῖ·
[ν]ικήϲ[α]ϲ̣ Πτ̣ο̣λ̣εμ̣α̣ῖ̣α καὶ Ἴϲθμια καὶ Νεμέαι δὶϲ
__ [τ]ο̣ὺ̣ϲ̣ Δελφ̣ο̣ὺ̣ϲ̣ π̣.[...]ειν̣ οὐκ ἐ̣θ̣έλει ϲτεφάνουϲ.

12 ἀ̣κρώνυχοϲ· ὧϲ Lapini 2003b 13 οὗ]τ̣ο̣ϲ̣ κ̣[λεινὸϲ *ed. pr., min.* ἀεθλοφορῆι Ferrari 2004 15 π̣α̣[ριδ]ε̣ῖ̣ν̣ *ed. pr., min.* : π̣α̣[ραθ]ε̣ῖ̣ν̣ Lapini 2002

XII τ̣[ο]ῦ(το) ἅρμ̣[ατι ±11 ]. τελέωι τ̣ρὶc Ὀ̣[λύμ]π̣ι̣α νικῶ **77**
εῠ.[ ±13 ο]ὐ̣κ ὀ̣λ̣ί̣γαι δαπ̣[άνα]ι
α.[ ±15 ] κ̣ομιδᾶc .[.....].[
__ ε̣ἴ γ’ ἀ̣[ρ]κ̣εῖ δόξαι, λεί̣π̣εται οὐ[δ]ὲν ἐμοί.

16 τρὶc (vel δὶc) Δελφοῖ]c̣ Austin 2001a 17 ευε̣[ vel ευθ[, e.g. Εὐθ̣[ύμαχοc *ed. min.* (Εὐ.[ *ed. pr.*) κάμνων ο]ὐ̣κ Austin 2001a 18 ἀδ̣[ύ τι τοῦτ ἆθλον Austin 2001a fin. ἵ̣[ππων τό]δ[ε δ’ αὖθιc? *ed. min.*

XII ε]ἴπατε, πάντεc ἀο̣ι̣δ̣ο̣ί, ἐμὸ̣ν [κ]λέο̣c̣, ε[.].[ **78**
•] γνωcτὰ λέγειν, ὅτ̣ι μοι δ̣ό̣ξ̣[α
ἅρματι μὲ⟨ν⟩ γάρ μοι προπάτω̣[ρ Πτολεμ]α̣ῖοc ἐ̣ν̣[ίκα
Πιcαίων ἐλάcαc ἵππον ἐπὶ cτα[δίων,
καὶ μήτηρ Βερενίκη ἐμοῦ πατ[ρόc· ἅ]ρ̣[μ]ατι δ’ αὖτ̣[ιc
νίκην εἷλε πατὴ̣ρ̣ ἐ̣⟨κ⟩ βαcι̣λέω̣[c] βαc̣[ι]λεὺc
πατρὸc ἔχων ὄνομα· ζευκτ̣[ὰc δ’] ἐξή̣ρατο̣ πάcαc
Ἀ̣ρcινόη νίκαc τρεῖc ἑνὸc ἐξ ἀέ̣[θλου·
π.[ ±13 ] γένοc ἱερὸν [... γυ]ν̣αικῶν
κε[ ±12 ] παρθένιοc [......]c.
τα̣[ῦ]τ[α] μ̣ὲ̣[ν ..... ἐ]πεῖδεν Ὀλυ̣[μπ]ί̣α̣ [ἐξ ἑ]νὸc οἴκ̣ο̣υ̣
• ἅ̣ρμαcι καὶ παίδων παῖδαc ἀεθ̣λ̣ο̣φόρο̣[υ]c̣·
τεθρίππου δὲ τελείο⟨υ⟩ ἀείδετε τὸν Βερ[ε]ν̣ί̣κ̣η̣[c
__ τ̣ῆc βαcιλευούcηc, ὦ Μακέτα[ι], cτέφανο̣ν.

20 ε[ἴ] π̣[οτ’ ἀρέcκει *ed. pr., min.* 21 δ̣ό̣ξ̣[α παλαιόγονοc *ed. pr., min.* : vel δ̣ό̣ξ̣[αν ἄγει τὸ γένοc *ed. min.* : δ̣ό̣ξ̣[α πολυcτέφανοc Austin 2001a 22 μεγγαρ P 25 .γβαc.λεω[.] P 28 πα̣[τρὸc νῦν τιμῶ] Austin 2001a, *ed. min.* : πα̣[τρὸc νῦν κέλομαι] Livrea 2002 [ἠδὲ γυ]ν̣αικῶν Austin 2001a, *ed. min.* : [δῖα γυ]ν̣αικῶν Livrea 2002 (metr.?) 29 κέ[κλημαι φέγγοc] et [βαcιλί]c Austin 2001a, *ed. min.* : κε[κλῆcθαι θεῖον] Livrea 2002 30 μ̣ὲ̣[ν εὔχε’ *ed. pr., min.* 32 τελειον P, def. Livrea 2002

XII παρθένοc ἡ βαcίλιccα cὺν ἄντυ[γ]ι, ν̣αί, Βερε̣νίκη **79**
πάνταc ἅμα ζευκτοὺc ἀθλοφορεῖ cτεφάνουc,
Ζ̣εῦ παρὰ cοὶ Νεμ̣εᾶτα· τάχει δ’ ἀπελί⟨μ⟩πανεν ἵππω̣ν̣
δίφρ̣ο̣c̣ ἐπ̣ε̣ὶ [.....]ι τὸν πολὺν ἡνίοχον,
δαλ[........ ἵ]π̣ποι ὑπὸ ῥ[υτ]ῆρι θέοντεc
πρῶ[τοι ἐc Ἀ]ρ̣γ̣ο̣λικοὺc ἦλθον [ἀγω]νοθέταc.

36 α̣πελιππανεν P 37 [κάμψα]ι Gronewald 2001, *ed. min.* : [κάμψη]ι *ed. pr.* 38 δαλ[οῖc δ’ εἴκελοι *ed. pr., min*

XIII 1 ± 31 ]λ̣οιϲ **80**
2 • ±19 ]. [ϲ]τ̣ε̣φ̣α̣ν̣[ο]υ̣[
3 ±19 ]ο̣χον, ὦ Νέμεε Ζεῦ
4 __ ±16 ] τ̣οῦτ᾽ ἐπ̣ὶ παιδὶ μόνηι.

1 “ἀέθ]λ̣οιϲ (Austin 2001a) potius quam πολ]λ̣οῖϲ” *ed. min.* : φύλ]λ̣οιϲ Angiò 2003b 3 ] ὄ̣χον vel ἔξ]ο̣χον vel ὑπείρ]ο̣χον Austin 2001a 4 e.g. ἀθλοφόρωι Μακέτηι] Austin 2001a

XIII 5 [ ±16 Δ]ωρικὰ φύλλα ϲελίνων **81**
6 .[ ±18 ].ε μίαν κεφαλήν
7 [ ±27 ].[.].ων
8 __ π̣[ ±20 ἅρμ]α̣τι δὶϲ τελέωι.

6 α̣[ vel δ̣[ fort. τ]ι̣̂ε *ed. min.* 7 ]φ̣[? fin. ]ζ̣ vel ]ξ̣ vel ].ε̣ 8 “init. π̣]ρώτην (Austin 2001a) potius quam π̣[αῖδα vel π̣[αρθένον” *ed. min.*

XIII 9 ε̣[..].[ ±16 ]γατον Βερενίκηϲ **82**
10 .[.]κ̣[ ±15 ]. ἵ̣π̣π̣ο̣ν̣ ἐ̣π̣ὶ̣ ϲταδίων,
11 τ̣ὴ̣ν̣ δ̣ὲ [ ±10 ]νον Μακέτην πέλα̣ϲ ᾽Α̣κ̣ρ̣[ο]κ̣[ο]ρ̣ί̣ν̣θ̣[ο]υ̣
12 • παῖδα τὸ Πε̣ι[ρήνηϲ ϲε]μ̣νὸν ἐθαύμαϲ᾽ ὕδωρ
13 ϲὺ⟨ν⟩ πατρὶ Π[τολ]ε̣[μ]α̣ίωι· ἐκήρυξαϲ γὰρ ἐν ᾽Ιϲθμῶι
14 __ τοϲϲάκιϲ ἀθ̣λ̣[οφ]ό̣ρον δῶμα μόνη βαϲιλίϲ.

9 ε̣[ῖδ]ε̣ [Ποϲειδάων εὖχοϲ μέ]γα τὸν Austin 2001a/b, *ed. min.* : an ϲτέφανον … τὸν? 10 ν̣[ι]κ̣[ῶντ᾽ ὠκυδρόμω]ν̣ Austin 2001a/b, *ed. min.* 11 [πολυϲτέφα]νον *ed. pr., min.* 13 ϲυμπατρι P ἐκήρυξεν? Austin 2001a

XIII 15 Θεϲϲαλὸϲ ὀξ̣[ύτα⟨θ⟩᾽]{α̣} ἵππος ᾽Ολύμπια μουνοκέληϲ τρὶϲ **83**
16 νικῶν αγ[….]α̣ι μνῆμ᾽{α} ἱερὸν Cκοπάδαιϲ
17 π̣ρ̣ῶτοϲ κ̣[αὶ μ]όνοϲ οὗτοϲ· ἐλέγχετε, τρὶϲ γὰρ ἐνίκων
18 __ ….. ἐπ᾽ ᾽Αλ]φ̣ειῶι, μάρτυρεϲ ᾽Ιαμίδαι.

15 οξ̣[….]α̣ιπποϲ P? : ὃν̣ [θε]ᾶ̣ι ἵπποϲ Luppe 2004b 16 ἄγ[κειμ]α̣ι Livrea 2002 : ἄγ[κειτ]α̣ι *ed. pr., min.* 18 init. καλῶι Livrea 2002 : e.g. Φρῖκοϲ vel Φρῖξοϲ Austin 2001a

XIII 19 …… ’Ολυ]μπιονῖκα, cὺ τὸν ταχὺν ἵππον ἔλουcαc **84**
20 …… ἐν ’Αλ]φειῶι, θεc̣cαλοτυλοcιδα,
21 ……. μ]έγα δῶμα μεθύcτερον ἐcτεφανώθη
22 • __ …….].ι πρῶται θειότεραι χάριτεc.

19 πρῶτοc, ’Ολυ]μπιονῖκα *ed. pr., min.* 20 τοῦτον ἐν ’Αλ]φειῶι *ed. pr., min.* Θεc̣cαλ⟨ὲ⟩ ⟨Φ⟩υλο⟨π⟩ίδα *ed. pr., min.* 21 εἰ καὶ cὸν μ]έγα Austin 2001a, *ed. min.* (et Gronewald 2004) 22 ]c̣ι *ed. pr.* : πάντεc[c̣ι Austin 2001a, *ed. min.* (vel cτίλβου[c̣ι … θειότερον Austin 2001a) : πολλάκιc] α̣ἱ vel δεύτερον,] α̣ἱ Gronewald 2004

XIII 23 …….]ν ταχυτᾶτι διάκριτον ἵππον ’Αμύνταc **85**
24 …… ἀ]π’ οἰκείαc ἀγαγόμ⟨α⟩ν ἀγέλαc
25 π̣ρ̣[ὸ]c c̣[έ, Ζε]ῦ Πιcᾶτα, καὶ οὐ κατέλυcα παλαιᾶc
26 __ δόξ̣α̣c̣ […] ἵπποι̣c̣ πατρίδα Θεccαλίαν.

23 ἀθλοφόρο]ν *ed. pr., min.* 24 τοῦτον ἀ]π’ *ed. pr., min.* αγαγομεν P 26 [εἰν] *ed. pr., min.*

XIII 27 τοῦ(το) …ι̣…τ̣ο̣μεν.. θ̣ρ̣αcυ̣c̣ ἔδραμε· καὶ γὰρ ἐνίκα **86**
28 ἵ̣π̣π̣ο̣c [ὅ]δ’ ἐν Νεμέαι τε̣τ̣ρ̣ά̣κιc οἰοκέληc
29 κα̣ί̣ τ̣ε̣ [δ]ὶ̣c ἐν Πυθοῖ cτάδιον Μ̣[ε]c̣c̣ήνιοc Αἴθων,
30 __ ⟨χἀ⟩[κά]τερ’ Εὐβώταν ἐcτεφ[ά]ν̣ωcεν ἐμέ.

27 init. …. ἀ̣ν̣τ̣ό̣μ̣ενοc Lapini 2003b : ἵ̣π̣π̣ο̣ν̣ ἀ̣θ[ρ]εῖτε μ̣έ̣γ̣α̣ν̣ κ̣λ̣ή̣ιcα̣ν̣τ̣ά (vel κ̣λ̣ε̣ί̣cα̣ν̣τ̣ά) με Luppe 2004c 29 κα̣ί̣ τ̣ε̣ *ed. pr., min.* : κα̣ὖ̣τ̣ε̣ Luppe 2004c 30 κα̣..[, i.e. κα̣ι̣ε̣] P, ut vid.

XIII 31 ἵ̣π̣[ποι] ἔθ’ ἁμὲc ἐοῦcαι ’Ολυμ[πια]κ̣ὸν Βερενίκαc, **87**
32 •] Π̣[ι]c̣ᾶ̣[τ]α̣ι Μακέταc ἀγάγομ[ε]c̣ cτέφανον,
33 ὃ̣c̣ τ̣ὸ̣ [πο]λυθρύλα̣τον ἔχει κλ̣έ̣ο̣c, ὧι τὸ Κυνίcκαc
34 __ ἐν Cπ̣ά̣[ρ]ται χρόνιον κῦδοc ἀφειλόμεθα.

33 -λα̣τον P, α ex η corr.

XIII 35 πρῶτο[ι] τρεῖϲ βαϲι̣λῆεϲ Ὀλύμπια καὶ μόνοι ἁμὲϲ **88**
36 ἅρμαϲι νικῶμεϲ̣ κ̣α̣ὶ̣ γονέεϲ καὶ ἐγώ·
37 ε̣ἷϲ μὲν ἐγὼ̣ [Π]τολεμαίου ὁμώνυμοϲ, ἐ⟨κ⟩ Βερενίκαϲ
38 υ̣ἱ̣[όϲ], Ἐορδαία γέννα, δύω δὲ γονεῖϲ·
39 †π̣ρ̣ο̣υ μέγα πατρὸϲ εμου† τίθεμαι κλέοϲ, ἀλλ’ ὅτι μάτηρ
XIV 1 ϙη• __ εἷλε γυνὰ νίκαν ἅρματ⟨ι⟩, τοῦτο μέγα.

37 εγβερενικαϲ P 39 ..]ου P π̣ρ̣ὸ⟨ϲ⟩ μέγα πατρὸϲ ἐμὸ⟨ν⟩ *ed. pr., min.* : ⟨κ⟩οὐ μέγα πατρὸϲ ἐμὸ⟨ν⟩ Gronewald 2001 : τ̣ρ̣⟨ὶϲ⟩ μέγα vel τ̣ρ̣⟨ίϲ⟩μεγα πατρὸϲ ἐμοῦ Lapini 2003b 1 αρματοτουτο P

XIV 2 ναυαγικά

XIV 3 Λυϲικλέουϲ̣ κεφαλὴν ὁ κενὸϲ τάφοϲ οὗτοϲ ἀπαιτεῖ **89**
4 δάκρυ χέων, καὶ θεοῖϲ μέμφεται οἷ’ ἔπαθεν
5 τ⟨οὔ⟩ξ Ἀκαδημείαϲ̣ πρῶτ̣[ον ϲ]τ̣ό̣μα, τὸν δέ που ἤδη
6 __ ἀκταὶ καὶ πολιὸν κυμα[

5 τοεξ P 6 e.g. κῦμα [θανόντ’ ἔλαχον Austin 2001a, *ed. min.* : κῦμ{α}’ [ἐπέχουϲιν ἁλόϲ *ed. pr.* : κῦμ{α}’ [ἴδε τρυχόμενον Livrea 2002

XIV 7 ὤλεϲεν Ἀρχεάνακτα [.].[............]π̣ρην **90**
8 Cκῦρον ἐν Αἰγαίωι νηχόμενον π̣[ελάγει,]
9 γῆν ἔνθεν τε καὶ ἔνθεν ὁρώμενον· ἀλλὰ θα̣λ̣[ά]ϲϲηϲ
10 __ διϲτάδιο̣ν πολλῶν μακρότερον πεδίων.

7 [β]ί̣[η βορέου Austin ap. Di Nino 2005b : [β]ί̣[αι Βορέηϲ *ed. min.* ([β]ί̣[αι iam Austin 2001a) ἐπὶ λε]π̣ρὴν *ed. pr., min.* : περὶ λυ]π̣ρὴν Hunter ap. Di Nino 2005a

XIV 11 τετράκι βουλεύϲαιο καὶ ἓν τότε κῦμα πλοΐζου· **91**
12 • μὴ ταχὺϲ Εὐξείνου γίνεο ποντοπόροϲ,
13 τοῦτον ἰδὼν κενεὸν Δώρου τάφον, ὃν Παριανῶν
14 __ τῆλέ ⟨π⟩ου εἰκαῖαι θῖνεϲ ἔχουϲιν ἁλόϲ.

11 ἓν τότε Gronewald 2001 : εντοτε P : ε⟨ἴ⟩ ⟨π⟩οτε *ed. pr., min.* πλοιζου P : πλοΐζειϲ vel πλοΐζει (-ηι) Austin 2001a 13 Παριανῶν Gronewald 2001, *ed. min.* : παρ’ ἰ⟨κ⟩άνων *ed. pr.* τῆλέ ⟨π⟩ου Austin ap. Gronewald 2001, *ed. min.* : τηλεμου P : τῆλ’ ἐμοῦ *ed. pr.*, Gronewald 2001 εἰκαῖαι Gronewald 2001, *ed. min.* : εἶ· καὶ ⟨μ’⟩ αἱ *ed. pr.*

XIV 15 νηὸϲ ἀπολλυμένηϲ ϲυναπώλετο πᾶϲ †αμαεργοϲ† **92**
16 ναύτηϲ, νηχο̣μ̣ε̣[……..]..ε̣ν̣τ̣ι̣ φυγή·
17 τὸ⟨ν⟩ γὰρ επαμ[ ± 15 ]α̣ δαίμων,
18 νηχόμενον [ ±16 ].ϲ.

15 ἅμ’ ἀεργὸϲ Gronewald 2001 : ἁμαεργὸϲ *ed. pr.* (def. Di Benedetto 2003b) : ἄελπτοϲ? Cuypers 16 νηχο̣μ̣έ̣[νωι δ’ ἦν *ed. pr., min.* (νηχομέ[νοιϲ? Cuypers) : νηχ̣ο̣μ̣έ̣[νωι δ’ οὐκ ἄ]ρ̣’ ἦ̣ε̣ν̣ τ̣ι̣ Livrea 2002 : Κρι- vel Ϲπι]ν̣ό̣ε̣ν̣τ̣ι̣? *ed. min.* 17 τογγαρ P ἐπ’ ἄμ[μον *ed. pr.* : e.g. ἐπαμ[πίϲχων ϲωτήριοϲ ἠρέμ]α̣ Austin 2001b : ἐπ’ ἄμ[μον ἔβαλλεν ὀλέθριον ἤλιθ]α̣ Livrea 2002 18 [ψυχρῆϲ ἐξεϲάωϲεν ἁλ]ό̣ϲ Austin 2001b : [κενεὴν ἐλπίδ’ ἀπωϲάμεν]ο̣ϲ Livrea 2002

XIV 19 τὸ⟨ν⟩ χρηϲτὸν Π̣ύ̣θερμο̣ν ὅπ̣ου ποτέ, γαῖα μ̣έλαινα, **93**
20 ἴϲχειϲ – ὤλετο γὰρ ψυχρο⟨ῦ⟩ ἐπ’ Αἰγόκερω –
21 κοῦφα περίϲτειλον· πόντου πάτερ, εἰ δὲ ϲὺ κεύθειϲ,
22 • ἄπληκτον ψιλὴν ἔ⟨κ⟩θεϲ ἐπ’ ἠϊόνα
23 ἐν περιφαινομένωι Κύμηϲ, καὶ τὸν νέκυν, ὡϲ χρή,
24 __ πατρῴηι, πόντου δέϲποτα, γῆι ἀπ̣ό̣δ̣ο̣ϲ.

19 τογχρηϲτον P 20 ψυχρον P 22 εχθεϲ P

XIV 25 ναυηγόν με θανόντα καὶ ἔκλαυϲεν καὶ ἔθαψ̣εν **94**
26 Λεώφαντοϲ ϲπουδῆι, καὐτὸϲ ἐπειγόμενοϲ
27 ὡϲ ἂν ἐπὶ ξείνηϲ καὶ ὁδοιπόροϲ· ἀλλ’ ἀποδοῦναι
28 κϛ• Λεωφάντ̣ωι μεγάλην †μικκοϲ εγω† χά̣ριτα.

28 μικκὸϲ ἐγὼ *ed. pr.* (def. Thomas 2003) : Μίκκοϲ ἔχω Lapini 2002 : – μίκκο⟨ν⟩ ἐ⟨ρ⟩ῶ – (i.e. ὡϲ ἐπειγομένωι ὁδοιπόρωι)? Cuypers

XIV 29 ἰαματικά

XIV 30 οἷοϲ ὁ χάλκεοϲ οὗτοϲ ἐπ’ ὀϲτέα λεπτὸν ἀνέλκων **95**
31 πνεῦμα μόγι̣[ϲ] ζωὴν ὄμματι ϲυλλέγε̣ται,
32 ἐ⟨κ⟩ νούϲω̣ν ἐϲάου το⟨ί⟩ουϲ ὁ τὰ δεινὰ Λιβύ̣ϲ̣ϲηϲ
33 δήγματα φα̣ρμά̣⟨ϲ⟩ϲειν ἀϲπίδοϲ εὑρόμενο̣ϲ
34 Μήδειοϲ Λάμπωνοϲ Ὀλύνθιοϲ, ὧι πανάκεια̣ν
35 τὴν Ἀϲκληπιαδῶν πᾶϲαν ἔδωκε̣ πατήρ·
36 ϲοὶ δ’, ὦ Πύθι’ Ἄπολλον, ἑῆϲ γνωρίϲματα τέχνηϲ
37 __ λείψανον ἀνθρώπου τόνδ’ ἔθετο ϲκελε̣τ̣όν.

31 ἄσθματι Hutchinson 2002 32 εγνουϲω̣ν P τουουϲ P 33 φα̣ρμα̣ρϲειν P

XIV 38 πρὸϲ ϲὲ μὲν ᾿Αντιχάρηϲ, ᾿Αϲκληπιέ, ϲὺν δυϲὶ βάκτροιϲ **96**
39 • ἦλθε δι᾿ ἀτραπιτῶν ἴχνοϲ ἐφελκόμενοϲ·
XV 1 ϲοὶ δ̣[ὲ θυη]π̣ολέων εἰϲ ἀμφοτέρ̣ο̣[υ]ϲ̣ πόδαϲ ἔϲτη
2 — καὶ τὸ π̣[ο]λ̣υχρόνιον δέμνιον ἐξέφυγε.

XV 3 ἰητήρια ϲοὶ νούϲων, ᾿Αϲκληπιέ, Κῷιοϲ **97**
4 δωρεῖται Cωϲῆ⟨ϲ⟩ ἀργυρέην φιάλην,
5 οὗ ϲὺ τὸν ἑξαέτη {α}κάματόν ⟨θ⟩᾿ ἅμα καὶ νόϲον ἱ{ε}ρήν,
6 — δαῖμον, ἀποξύϲαϲ ᾤιχεο νυκτὶ̣ μ̣ιῆι.

4 ϲωϲην P 5 ακαματονταμα P

XV 7 ἓξ ἔτη ᾿Αρχύταϲ ὀλοὸν χάλκευμ̣α̣ φ̣υ̣λ̣ά̣ξ̣α̣ϲ̣ **98**
8 ἐ⟨ν⟩ μηρῶι μ̣[......] π̣υθομένην ἀμ̣υ̣χ̣ή̣[ν,
9 Παιάν, ϲ᾿ εὐ[ ± 11 ω]δυνο̣ϲ̣, ὧ̣ϲ ἐπ̣᾿ ὀ̣νείρωι
10 • — τὸν πολὺν ἰηθ̣ε̣ὶ̣[ϲ ......]εν κάματον.

8 εμμηρωι P μ̣[ογέων]? *ed. min.* : μ̣[ογερῶι] Zanetto in *ed. min.* : μ̣[ιαρῶϲ] Austin 2001a : μ̣[υϲαρὴν vel μ̣[αλερὴν] Livrea 2002 : μ̣[ογερῶϲ] Di Nino 2005b 9 ϲ᾿ εὔ[νοον εἶδεν ἐπώ]δυνο̣ϲ̣ *ed. pr.* (ἐπώ]δυνο̣ϲ̣ et def. Livrea 2002) : ϲ᾿ εὔ[νοον εἶδεν ἀνώ]δυνο̣ϲ̣ *ed. min.* : ϲ᾿ εὔ[νοον εὗρεν ἐπώ]δυνο̣ϲ̣ Livrea 2002 : ἐπώ]δυνο̣ϲ̣ vel διώ]δυνο̣ϲ̣ Di Nino 2005b ϲ᾿ εὐ[θὺϲ ἰδών, τότ᾿ ἀνώ]δυνο̣ϲ̣ Lapini 2003b 10 ἐξέ-φυγ]εν *ed. pr., min.* (def. Livrea 2002, Di Nino 2005b) : ἐξέθορ]εν Zanetto in *ed. min.*

XV 11 ὁ Κρὴϲ κωφὸϲ ἐὼν αϲκ.[....].οιοϲ ἀκούειν **99**
12 αἰγιαλῶν †οιοϲ† μηδ᾿ ἀνέμω̣ν πάταγον,
13 εὐθὺϲ ἀπ᾿ εὐχωλέων ᾿Αϲκληπιοῦ οἴκαδ᾿ ἀπή⟨ι⟩ει,
14 — καὶ τὰ διὰ πλίνθων ῥήματ᾿ ἀκουϲόμενοϲ.

11 ᾿Αϲκλ̣[ᾶϲ, μη]δ᾿ οἷοϲ *ed. pr., min.* (et Gronewald 2004, Di Nino 2004 : μὴ] δ̣οιὸ⟨ν⟩ Gronewald 1993) : μὴ] τοῖοϲ Lapini 2002 12 -ῶν ὅ⟨ϲϲ⟩οϲ Gronewald 2004 : -ῶν οἷοϲ Lapini 2002 : -ῶν οἷοϲ Voutiras 1994 : -ῶν ⟨δ⟩οιὸ⟨ν⟩ Gronewald 1993 : -ῶν δοῦπον vel ῥόχθον Austin 2001a : -ῶν ἦχον Gigante 1993 : -οῦ ῥόθιον? *ed. min.* : -οῖο ῥόθον Angiò 1996 πάταγο⟨ϲ⟩ Gronewald 2004 13 απηει P

XV 15 ἡνίκ᾿ ἔδει Ζήνωνα τὸ̣ν ἥϲυχον ὕπνον ἰαύειν, **100**
16 πέμπτον ἐπ᾿ εἰκοϲτῶ̣ι τυφλὸν ἐόντα θέρει,
17 ὀγδωκο̣ν̣τ̣α̣έ̣τ̣η̣ϲ ὑγιὴϲ γένετ᾿, ἠέλιον δέ
18 — δὶϲ μου̣̑[ ± 11 ]ν̣ βαρὺν εἶδ᾿{ε} ᾿Αΐδην.

18 μοῦ̣[νον βλέψαϲ τὸ]ν̣ *ed. pr., min.* (Di Nino 2004) : δὶϲ μοῦ̣[νοϲ καὶ δὶϲ τὸ]ν̣ Lapini 2002 : μοῦ̣[νοϲ Hutchinson 2002 βαθὺν Parsons apud Hutchinson 2002

XV 19 ὄλβον̣ ἄ̣ρ̣ι̣ϲ̣τ̣ο̣ϲ̣ ἀ̣ν̣[ήρ], Ἀ̣ϲκληπιέ, μέτριον αἰτεῖ **101**
20 • – ϲοὶ δ’ ὀρέγειν πολλὴ βουλομένωι δύναμιϲ –
21 αἰτεῖται δ’ ὑγί⟨ει⟩αν, ἄκη δύο· ταῦτα γὰρ εἶναι
22 λβ ἠθέων ὑψηλὴ φαίνεται ἀκρόπολιϲ.

21 υγιηαν P

XV 23 τρόποι

XV 24 τί πρὸϲ ἔμ’ ὧδ’ ἔϲτητε; τί μ’ οὐκ ἠάϲατ’ ἰαύειν, **102**
25 εἰρόμενοι τίϲ ἐγὼ καὶ πόθεν ἢ ποδαπόϲ;
26 ϲτείχε⟨τέ⟩ μου παρὰ ϲῆμα· Μενοίτιόϲ εἰμι Φιλάρχω
27 __ Κρήϲ, ὀλιγορρήμων ὡϲ ἂν ἐπὶ ξενίηϲ.

26 ϲτειχεμου P

XV 28 οὐδ’[{ε}] ἐ̣περωτή̣ϲαϲ̣ με νόμ̣ου̣ χάριν οὔτε πόθε⟨ν⟩ γῆϲ **103**
29 εἰμ̣ὶ παραϲ̣τείχειϲ ο̣ὔ̣τ̣ε̣ [τίϲ ο]ὔτε τίνων·
30 ἀλλὰ ϲύ μ’{ε} ἡ̣ϲ̣υ̣χ̣ί̣[ωϲ .........]ο̣ν, εἰμὶ δ’ ἐγὼ παῖϲ
31 __ Ἀλκαίου Ϲω̣ϲ̣ῆ̣ϲ̣ Κ̣ῷ̣[ιοϲ .......]εϲου.

28 ποθεγγηϲ P 30 ἴδε κείμεν]ο̣ν *ed. pr., min.* 31 ὁμόϲ, φίλ]ε, ϲοῦ *ed. pr., min.*

XV 32 ϲτῆθι τεταρ̣π̣[όμενοϲ – ..... ε]ὔμετρο̣ν̣, ο̣ὐ̣ μέγα ϲ’{ε} αἰτ[ῶ – **104**
33 • ὡϲ γνῷ̣ιϲ [ ± 15 ] Ἐρ̣ετριέα·
34 εἰ δὲ βάδην ὑπαγ....[..]ε̣καιι, φ̣ί̣λε, τὸν Μενεδήμ⟨ωι⟩
35 __ ϲυ{ν}ϲχολάϲαντ’ εϲ.[......] π̣ά̣τερ, ἀνδρὶ ϲοφῶι.

32 γέραϲ ε]ὔμετρο̣ν̣ *ed. pr., min.* (def. Livrea 2002) : χάριν vel χρῆμ’ Austin 2001a
33 [Ϲτίλπωνοϲ μ’ ἔμμεν’] Livrea 2002 : e.g. [τῆιδέ μ’ ἔχειν ξεῖνον] Austin 2001a
34 ὑπάγ̣ε̣ι̣ϲ̣, μ̣[άθ]ε̣ καί *ed. pr., min.* μενεδημο., i.e. -ο̣ν̣ P (recte? ἀνδρὶ ϲοφῶι = Ϲωκράτει? Cuypers; def. etiam Livrea 2002) 35 ἐϲ ὅ̣[λον, Ζεῦ] *ed. pr.* (def. Livrea 2002) : ἐϲο̣[ρῶν, Ζεῦ] Gronewald 2001 : v. et Gronewald 2004

XV 36 προϲφωνήϲ̣α̣[τε Βάττον·] ὑ̣πὸ ϲ̣τή̣λ̣ηι γὰρ ὁ πρέϲβυϲ̣ **105**
37 κεῖται, τῶν ἑ̣[κατὸν] πέντ’ ἀ̣φ̣ε̣λ̣ὼ̣ν̣ ἔ̣τεα,
38 Ἀδραμυτην[ὸϲ ἀ]νήρ· ʿΤιμάν̣θ̣ε̣οϲ Ἀδρα̣μυτη̣νέ
XVI 1 __ Βάτ̣τε μάκα[ρ

36 [Βάττον] Gronewald 2004 : [τοῦτον] *ed. pr., min.* 1 e.g. Βάτ̣τε μάκα[ρ, ζωὴν ἐκτελέϲαϲ χρονίαν vel βιοτὴν ἤγαγεϲ ἐϲθλοτάτην Austin 2001a

| | | | | |
|---|---|---|---|---|
| XVI 2 | | εἴπ̣ατε τὸν κ̣[ | | **106** |
| 3 | | χαῖ̣ρ’ Ἡγῆcα.[ | ρ̣[ pot. quam ν̣[ | |
| 4 | | ἧc γ̣ὰρ τουτ[ | | |
| 5 | [•] | __ γ̣ρά̣μ̣μ̣ατα π̣[ | | |
| XVI 6 | | κεῖ̣μ̣αι ἐπ’ ἐθ[ν | | **107** |
| 7 | | οὐδὲ προcα[ | | |
| 8 | | ξεῖνε, πρὸc αὐ[ | | |
| 9 | | __ ἀcπάζου φιλ[ | φιλ[ίωc? *ed. min.* | |
| XVI 10 | | εὖγ’ ὅτ’ ἰδεῖν ..[ | | **108** |
| 11 | | [..].ι̣τ̣α̣λ̣λ̣α̣[ | fort. ]ε̣ | |
| 12 | | τ̣[ο]ῦ νέκυοc τη.[ | ι̣[ vel ν̣[ | |
| 13 | | __ cῶιζου, βελτιcτ[ | | |
| XVI 14 | | πῶc [..]..ουc.[ | θ̣ο vel c̣ο π̣[ vel τ̣[ | **109** |
| 15 | • | cιγη̣[ | | |
| 16 | | νη[ | | |
| 17 | λβ | __ ψυχρο̣.[ | τ̣[ vel υ̣[ | |
| XVI 18 | | [ | | |
| XVI 19 | | εἴαροc ἡ Ζεφ[υρ | Ζεφ[ύρου vel pot. [υρῖτιc Hutchinson 2002[1] | **110** |
| 20 | | β.[ | α̣[ vel λ̣[ | |
| 21 | | κα.[ | ι̣[, κ̣[, ν̣[, ρ̣[ | |
| 22 | | __ [.]κ̣νεῖν καὶ [ | [ὀ]κ̣νεῖν *ed. pr., min.* : [ἐ]κ̣νεῖν Lapini 2004 | |
| XVI 23 | | πᾶν τε̣τ̣α̣.[ | ν̣[ pot. quam μ̣[ | **111** |
| 24 | | [ | | |
| 25 | | λ.[ | ε̣[ pot. quam α̣[ | |
| 26 | | __ [ | | |
| XVI 27 | τοῦ(το) | .[ | | **112** |
| 28 | • | .[ | μ̣[ vel ν̣[ pot. quam α̣[, δ̣[, λ̣[ | |
| | | . . . . . | | |

1 (-υρῖτιc Lapini 2004, -ύρου Bernsdorff 2002, -ύροιο Angiò 2002b)